# Ath. 10,11 f. = 417b-418d

| | |
|---|---|
| Title | Deipnosophistae |
| Author | Athenaeus |
| Date | 2nd, 3rd Cen.A.D. |
| Original text | καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησί (II 169 K) πώνειν μὲν ἀμὲς καὶ φαγεῖν μάλ' ἀνδρικοὶ καὶ καρτερεῖμεν, τοῖς δ' Ἀθηναίοις λέγειν καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα. καὶ ἐν Εὐρώπῃ (p. 176) κτίζε Βοιωτῶν πόλιν, ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας. καὶ ἐν Ἴωνι (p. 177) οὕτω σφόδρ' ἐστὶ τοὺς τρόπους Βοιώτιος ὥστ' οὐδὲ δειπνῶν, ὡς λέγουσ', ἐμπίπλαται. ἐν δὲ Κέρκωψι (p. 181) μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ' ὅλην τήν θ' ἡμέραν δειπνοῦσι καὶ κοπρῶν' ἔχει ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ οὐκ ἔστι μεῖζον ἀγαθόν ὡς χεζητιῶν μακρὰν βαδίζων, πολλὰ δ' ἐσθίων ἀνήρ, δάκνων τὰ χείλη παγγέλοιός ἐστ' ἰδεῖν. ἐν δὲ τοῖς Μυσοῖς πρὸς τὸν Ἡρακλέα ποιεῖ τινα τάδε λέγοντα (p. 187) ·σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών, ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας ὅλης τραχήλους καὶ κοπρῶνας πλησίον ... Δίφιλος δὲ ἐν Βοιωτίῳ (II 547 K) οἷος ἐσθίειν πρὸ ἡμέρας ἀρξάμενος ἢ πάλιν πρὸς ἡμέραν. Μνησίμαχος Βουσίριδι (II 436 K) εἰμὶ γὰρ Βοιώτιος ὀλίγα μὲν λαλῶν, {B.} δίκαια ταῦτα. |
| Source | C. B. Gulick, Athenaeus. The Deipnosophists, Bd. 4, 9–10. |
| Source of translation | C. Friedrich, Athenaios. Das Gelehrtenmahl,7-10. |
| Instances | Ath. 2,28 |
| Descriptor | Eating and drinking, mentality |
| Coverage | Boeotia, Thessaly |
| Ethnic Groups | Boiotians, Thessalians |
| Editor | Margit Offenmüller |
| Publisher | Klaus Tausend, Institut für Alte Geschichte und Altertumskunde, Universität Graz |